# ΟΙ ΧΑΙΡΕΤΙΣΜΟΙ



# ΤΗΣ ΘΕΟΤΟΚΟΥ

*Γ΄ ἔκδοση, 20σέλιδη*

Κατά την Ἁγιοπατερική παράδοση, ἀποτελεῖ **ψυχοφελέστατη** συνήθεια τῶν πιστῶν, ἡ **καθημερινή ἀνάγνωσή** των.

# ΧΑΙΡΕΤΙΣΜΟΣ

## Τοῦ Σεβ. Μητροπολίτου Ἱερισσοῦ, Ἁγίου Ὄρους καί Ἀρδαμερίου κ. ΝΙΚΟΔΗΜΟΥ

Μέ πολλήν χαράν καί ἐν ἀγάπῃ καί τιμῇ, **προσφέρομεν τόν ἐγκάρδιον χαιρετισμόν** εἰς τάς Ἐκδόσεις, τάς ὁποίας ἐπιμελεῖται ὁ εὐλαβέστατος Ἁγιορείτης Μοναχός π. Γρηγόριος, καί δή **εἰς τήν Ἔκδοσιν τῶν Χαιρετισμῶν τῆς Θεοτόκου.**

Μέσα ἀπό τόν ἐγκάρδιον αὐτόν Χαιρετισμόν καταθέτω τό Μήνυμα πρός τούς εὐσεβεῖς χριστιανούς, οἱ ὁποῖοι διακατέχονται ἀπό τήν ἰδίαν ἱεράν ἀγωνίαν τοῦ π. Γρηγορίου, δι' ὅλην τήν ἠθικήν καί πνευματικήν ἀναρχίαν, ἡ ὁποία ἐπικρατεῖ εἰς τήν ἐποχήν μας· καί ἡ ὁποία ἀγωνίζεται νά ἰσοπεδώσῃ τά πάντα εἰς τήν ἐπιταγήν τῆς παγκοσμιοποιήσεως.

Τό Μήνυμα καί τό Σύνθημα εἶναι:
Ἡ ἀέναος προσευχή καί ἱκεσία πρός τήν Κυρίαν ἡμῶν Θεοτόκον καί Ὑπέρμαχον Στρατηγόν τοῦ εὐσεβοῦς ἡμῶν Γένους.

- ἵνα μή παύσῃ νά παρίσταται πάντοτε ὡς Παράκλησις θερμή πρός τόν Υἱόν καί Θεόν Της, τόν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν·
- ὑπέρ τῆς τοῦ κόσμου ζωῆς καί σωτηρίας, ὑπέρ τοῦ πιστοῦ Λαοῦ τοῦ Θεοῦ·
- ὑπέρ τῆς ἐπιστροφῆς τῶν ἀμετανοήτων καί ἀπίστως συμπεριφερομένων·
- ὑπέρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου· ὑπέρ πάντων ἡμῶν τῶν ἀπεκδεχομένων τό παρ' Αὐτοῦ μέγα καί πλούσιον ἔλεος.

Ἡ θερμή προτροπή καί παράκλησις τοῦ Χαιρετισμοῦ εἶναι:

**«Ἀγαπᾶτε τήν Παναγίαν, εὐλαβεῖσθε τήν Παναγίαν, ὡς τήν ὄντως Θεοτόκον. Διαβάζετε κάθε ἡμέρα εἰς τό σπίτι σας τούς Χαιρετισμούς τῆς Θεοτόκου».**

**Οἱ Χαιρετισμοί τῆς Θεοτόκου εἶναι ἡ μεγάλη Χαρά τῆς Παναγίας. Καί ἡ Χαρά αὐτή τῆς Παναγίας γίνεται μεγάλη εὐλογία δι' ἡμᾶς, διά τήν οἰκογένειάν μας, διά τό σπίτι μας.**

Λέξεις καί ἐπίθετα καί τίτλοι καί ὀνόματα ὑπερκόσμια καί ὑπερθεολογικά συνδέτουν εἰς θείαν καί ἱεράν ἁρμονίαν τόν ἐξαίσιον Ὕμνον τῶν Χαιρετισμῶν τῆς Θεοτόκου μαζί μέ τόν Κανόνα τοῦ Ἀκαθίστου, καί ἐκφράζουν τά μύχια τῶν πόθων καί τῶν αἰσθημάτων τῆς ἀπείρου εὐγνωμοσύνης καί τῆς εὐλαβείας καί τῆς τιμητικῆς προσκυνήσεως τῆς Ἐκκλησίας καί τοῦ Λαοῦ τοῦ Θεοῦ· πρός τήν Κυρίαν ἡμῶν Θεοτόκον, τήν Πλατυτέραν τῶν Οὐρανῶν, ἡ ὁποία ἠξιώθη τοῦ μοναδικοῦ καί ἀνεπαναλήπτου θαύματος, νά φέρῃ εἰς τά σπλάχνα Της καί νά γεννήσῃ «ἐν χρόνῳ καί τόπῳ», σύμφωνα μέ τήν προαιώνιον Βουλήν τοῦ Θεοῦ, ὑπερφυῶς καί ἀφθόρως καί ἀφάτως, τόν Υἱόν καί Λόγον τοῦ Θεοῦ «τέλειον Θεόν καί τέλειον ἄνθρωπον, ἄνευ ἁμαρτίας», τόν Θεάνθρωπον καί Φιλάνθρωπον Κύριον Ἰησοῦν Χριστόν καί Σωτῆρα τοῦ κόσμου, καί ὡς ἐκ τούτου νά γίνῃ ἀκριβῶς ἡ Μήτρα τῆς Ἐκκλησίας καί ἡ Πύλη τῆς σωτηρίας.

Διότι ἀκριβῶς ἡ Παναγία μᾶς ἐχάρισε τόν Χριστόν, ὁ Χριστός μᾶς ἐχάρισε τήν Ἐκκλησίαν καί ἡ Ἐκκλησία μᾶς χαρίζει τήν σωτηρίαν.

**Ἄνευ καί ἐκτός τῆς Ἐκκλησίας δέν ὑπάρχει σωτηρία.**

Ἐκ τούτου ἀντιλαμβάνεται πᾶς λογικῶς καί ἠθικῶς σκεπτόμενος ἄνθρωπος, πόση μεγάλη καί ἀνεκτίμητος εἶναι ἡ ἀξία καί ἡ σημασία τῆς Θεοτόκου καί ἡ θέσις Της εἰς τήν ζωήν τῆς Ἐκκλησίας.

Ὁ Ἅγιος Ἰωάννης ὁ Δαμασκηνός τονίζει χαρακτηριστικά, ὅτι:

«Ἡ Θεοτόκος ἅπαν τό Μυστήριον τῆς θείας Οἰκονομίας συνίστησι».

Εἰς τό πρόσωπον τῆς Παρθένου ὁλόκληρος ἡ ἀνθρωπότης ἔδωσε τήν συγκατάθεσίν της, διά νά σαρκωθῆ ὁ Υἱός καί Λόγος τοῦ Θεοῦ καί νά κατοικήση ἐν μέσῳ τῶν ἀνθρώπων. Ἡ τραγωδία τῆς ἐλευθερίας τοῦ ἀνθρώπου λύεται διά τῶν λόγων τῆς Ἀειπαρθένου καί Κεχαριτωμένης Μαρίας:

«Ἰδού ἡ δούλη Κυρίου· γένοιτό μοι κατά τό ρῆμα σου».

Τοῦτο τό Μυστήριον τῆς Ἐνσαρκώσεως τοῦ Υἱοῦ καί Λόγου τοῦ Θεοῦ καί τῆς ἐκ τούτου Νέας Κτίσεως τῆς Ἐκκλησίας, δοξολογεῖ καί ὑμνολογεῖ ὁ Ἀκάθιστος Ὕμνος, καί γεραίρεται καί δοξολογεῖται δι᾽ αὐτοῦ ἡ Παντάνασσα καί Ἀειπάρθενος Κόρη τῆς Ναζαρέτ, ἡ διακονήσασα τό φοβερόν τοῦτο Μυστήριον καί τῆς δι᾽ αὐτοῦ σωτηρίας τοῦ ἀνθρωπίνου Γένους.

**Εἰς τό Ἅγιον Ὄρος ὑπάρχει ἡ πληροφορία τῆς Θεοτόκου, ὅτι:**
**Ὅποιος διαβάζει κάθε ἡμέρα τούς Χαιρετισμούς Της, ἀναλαμβάνει ἡ Παναγία νά τόν σώση ἐνώπιον τοῦ Υἱοῦ Της.**

Ὅποιος δέν ἀγαπᾶ τήν Παναγίαν, δέν ἠμπορεῖ νά ἀγαπᾶ τόν Χριστόν.
Ὅποιος δέν πιστεύει τήν Παναγίαν ὡς τήν ὄντως Θεοτόκον,
δέν ἠμπορεῖ νά πιστεύη εἰς τόν Ἰησοῦν Χριστόν ὡς Σωτῆρα τοῦ κόσμου,
συμπληρώνει ὁ Ἅγιος Ἰωάννης ὁ Δαμασκηνός.

Δι᾽ αὐτό ἡμεῖς οἱ Ὀρθόδοξοι Χριστιανοί προσευχόμεθα:
«**Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς**». Ὁ Χριστός σώζει. Ἀλλά,
ἡ Παναγία εἶναι ἡ Μητέρα Του, καί ἡ δέησίς της εἶναι σωστική.
Οἱ Πατέρες τῆς Ἐκκλησίας συμπληρώνουν τόν Χαιρετισμόν τοῦ Ἀρχαγγέλου Γαβριήλ:
«Χαῖρε Κεχαριτωμένη Μαρία, ὁ Κύριος μετά Σοῦ, καί διά Σοῦ μεθ᾽ ἡμῶν».

**Θερμήν παράκλησιν προσφέρομεν πρός τούς εὐσεβεῖς χριστιανούς νά προσεύχωνται καί νά διαβάζουν κάθε ἡμέρα εἰς τό σπίτι τους τούς Χαιρετισμούς τῆς Θεοτόκου.**

Εὐχόμεθα εἰς ὅλους καί ἐπικαλούμεθα ἐπί πάντας, πλουσίαν τήν εὐλογίαν τοῦ Κυρίου καί τήν κραταιάν προστασίαν τῆς Παναγίας.

Εὐχέτης πρός Κύριον
Ο ΜΗΤΡΟΠΟΛΙΤΗΣ

Ἱερισσοῦ, Ἁγίου Ὄρους καί Ἀρδαμερίου Νικόδημος

Θαυματουργός εἰκών τῆς Θεοτόκου ἡ ἐπονομαζομένη **Ἀκαθίστου.** Εὑρίσκεται εἰς τήν Ἱεράν Μονήν τοῦ Ζωγράφου, Ἁγ. Ὄρους.

Εἰκόνα ἐξωφύλλου: Ἡ θαυματουργός εἰκών τῆς Θεοτόκου ἡ ἐπονομαζομένη **Ἀκαθίστου.** Εὑρίσκεται εἰς τήν Ἱεράν Μονήν Χιλιανδαρίου, Ἁγ. Ὄρους.

Αἱ 4 Εἰκόνες τῶν ἐξωφύλλων προέρχονται ἀπό τήν Ἁγιορείτικη Ἔκδοση «ΕΠΙΣΚΙΑΣΙΣ ΕΠΙ ΤΟΥ ΑΘΩ»



Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός ἡμῶν, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.

Ἀπολυτίκιον. Ἦχος πλ. δ´

Τό προσταχθέν μυστικῶς λαβών ἐν γνώσει, ἐν τῇ σκηνῇ τοῦ Ἰωσήφ σπουδῇ ἐπέστη ὁ Ἀσώματος λέγων τῇ Ἀπειρογάμῳ· Ὁ κλίνας τῇ καταβάσει τούς οὐρανούς, χωρεῖται ἀναλλοιώτως ὅλος ἐν σοί. Ὅν καί βλέπων ἐν μήτρᾳ σου λαβόντα δούλου μορφήν, ἐξίσταμαι κραυγάζειν σοι· **Χαῖρε, Νύμφη ἀνύμφευτε.**

## ΣΤΑΣΙΣ Α´

Ἄγγελος πρωτοστάτης, οὐρανόθεν ἐπέμφθη, εἰπεῖν τῇ Θεοτόκῳ τό Χαῖρε· Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἄγγελος πρωτοστάτης, οὐρανόθεν ἐπέμφθη, εἰπεῖν τῇ Θεοτόκῳ τό Χαῖρε· Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.



Ἄγγελος πρωτοστάτης, οὐρανόθεν ἐπέμφθη, ...

Ἄγγελος πρωτοστάτης, οὐρανόθεν ἐπέμφθη, εἰπεῖν τῇ Θεοτόκῳ τό Χαῖρε·

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

καί σύν τῇ ἀσωμάτῳ φωνῇ, σωματούμενόν σε θεωρῶν Κύριε, ἐξίστατο καί ἵστατο, κραυγάζων πρός αὐτήν τοιαῦτα·

**Χαῖρε**, δι᾽ ἧς ἡ χαρά ἐκλάμψει·
**χαῖρε**, δι᾽ ἧς ἡ ἀρά ἐκλείψει.
**Χαῖρε**, τοῦ πεσόντος Ἀδάμ ἡ ἀνάκλησις·
**χαῖρε**, τῶν δακρύων τῆς Εὔας ἡ λύτρωσις.
**Χαῖρε**, ὕψος δυσανάβατον ἀνθρωπίνοις λογισμοῖς·
**χαῖρε**, βάθος δυσθεώρητον καί Ἀγγέλων ὀφθαλμοῖς.
**Χαῖρε**, ὅτι ὑπάρχεις Βασιλέως καθέδρα·
**χαῖρε**, ὅτι βαστάζεις τόν βαστάζοντα πάντα.
**Χαῖρε**, ἀστήρ ἐμφαίνων τόν Ἥλιον·
**χαῖρε**, γαστήρ ἐνθέου σαρκώσεως.
**Χαῖρε**, δι᾽ ἧς νεουργεῖται ἡ κτίσις·
**χαῖρε**, δι᾽ ἧς βρεφουργεῖται ὁ Κτίστης.

**Χαῖρε, Νύμφη ἀνύμφευτε.**



Βλέπουσα ἡ Ἁγία, ἑαυτήν ἐν ἁγνείᾳ, ...

Βλέπουσα ἡ Ἁγία, ἑαυτήν ἐν ἁγνείᾳ, φησί τῷ Γαβριήλ θαρσαλέως. Τό παράδοξόν σου τῆς φωνῆς, δυσπαράδεκτόν μου τῇ ψυχῇ φαίνεται, ἀσπόρου γάρ συλλήψεως τήν κύησιν πῶς λέγεις; κράζων·

**Ἀλληλούϊα.**



Γνῶσιν ἄγνωστον γνῶναι, ἡ Παρθέ-
νος ζητοῦσα, ...

Γνῶσιν ἄγνωστον γνῶναι, ἡ Παρθένος ζητοῦσα, ἐβόησε πρός τόν λειτουργοῦντα· ἐκ λαγόνων ἁγνῶν, Υἱόν πῶς ἐστι τεχθῆναι δυνατόν; λέξον μοι. Πρός ἥν ἐκεῖνος ἔφησεν ἐν φόβῳ, πλήν κραυγάζων οὕτω·

**Χαῖρε**, βουλῆς ἀποῤῥήτου μύστις,
**χαῖρε**, σιγῆς δεομένων πίστις.
**Χαῖρε**, τῶν θαυμάτων Χριστοῦ τό προοίμιον,
**χαῖρε**, τῶν δογμάτων αὐτοῦ τό κεφάλαιον.
**Χαῖρε**, κλῖμαξ ἐπουράνιε, δι' ἧς κατέβη ὁ Θεός,
**χαῖρε**, γέφυρα μετάγουσα τούς ἐκ γῆς πρός οὐρανόν.
**Χαῖρε**, τό τῶν Ἀγγέλων πολυθρύλητον θαῦμα,
**χαῖρε**, τό τῶν δαιμόνων πολυθρήνητον τραῦμα.
**Χαῖρε**, τό Φῶς ἀῤῥήτως γεννήσασα,
**χαῖρε**, τό πῶς μηδένα διδάξασα.
**Χαῖρε**, σοφῶν ὑπερβαίνουσα γνῶσιν,
**χαῖρε**, πιστῶν καταυγάζουσα φρένας.

**Χαῖρε, Νύμφη ἀνύμφευτε.**



Δύναμις τοῦ Ὑψίστου, ἐπεσκίασε
τότε, ...

Δύναμις τοῦ Ὑψίστου, ἐπεσκίασε τότε, πρός σύλληψιν τῇ Ἀπειρογάμῳ, καί τήν εὔκαρπον ταύτης νηδύν, ὡς ἀγρόν ὑπέδειξεν ἡδύν ἅπασι, τοῖς θέλουσι θερίζειν σωτηρίαν, ἐν τῷ ψάλλειν οὕτως·

**Ἀλληλούϊα.**



Ἔχουσα θεοδόχον, ἡ Παρθένος τήν μήτραν, ...

Ἔχουσα θεοδόχον, ἡ Παρθένος τήν μήτραν, ἀνέδραμε πρός τήν Ἐλισάβετ· τό δέ βρέφος ἐκείνης εὐθύς, ἐπιγνόν τόν ταύτης ἀσπασμόν, ἔχαιρε! καί ἅλμασιν ὡς ᾄσμασιν, ἐβόα πρός τήν Θεοτόκον·

**Χαῖρε**, βλαστοῦ ἀμαράντου κλῆμα·
**χαῖρε**, καρποῦ ἀκηράτου κτῆμα.
**Χαῖρε**, γεωργόν γεωργοῦσα φιλάνθρωπον·
**χαῖρε**, φυτουργόν τῆς ζωῆς ἡμῶν φύουσα.
**Χαῖρε**, ἄρουρα βλαστάνουσα εὐφορίαν οἰκτιρμῶν·
**χαῖρε**, τράπεζα βαστάζουσα εὐθηνίαν ἱλασμῶν.
**Χαῖρε**, ὅτι λειμῶνα τῆς τρυφῆς ἀναθάλλεις·
**χαῖρε**, ὅτι λιμένα τῶν ψυχῶν ἑτοιμάζεις.
**Χαῖρε**, δεκτόν πρεσβείας θυμίαμα·
**χαῖρε**, παντός τοῦ κόσμου ἐξίλασμα.
**Χαῖρε**, Θεοῦ πρός θνητούς εὐδοκία·
**χαῖρε**, θνητῶν πρός Θεόν παρρησία.

**Χαῖρε, Νύμφη ἀνύμφευτε.**



Ζάλην ἔνδοθεν ἔχων, λογισμῶν ἀμφιβόλων, ...

Ζάλην ἔνδοθεν ἔχων, λογισμῶν ἀμφιβόλων, ὁ σώφρων Ἰωσήφ ἐταράχθη, πρός τήν ἄγαμόν σε θεωρῶν, καί κλεψίγαμον ὑπονοῶν Ἄμεμπτε· μαθών δέ σου τήν σύλληψιν ἐκ Πνεύματος Ἁγίου, ἔφη·

**Ἀλληλούϊα.**



Ἤκουσαν οἱ ποιμένες τῶν Ἀγγέλων ὑμνούντων, ...

## ϹΤΑϹΙϹ Β΄

Ἤκουσαν οἱ ποιμένες τῶν Ἀγγέλων ὑμνούντων τήν ἔνσαρκον Χριστοῦ παρουσίαν· καί δραμόντες ὡς πρός ποιμένα, θεωροῦσι τοῦτον ὡς ἀμνόν ἄμωμον, ἐν τῇ γαστρί Μαρίας βοσκηθέντα, ἥν ὑμνοῦντες εἶπον·

**Χαῖρε**, ἀμνοῦ καί ποιμένος Μήτηρ,
**χαῖρε**, αὐλή λογικῶν προβάτων.
**Χαῖρε**, ἀοράτων ἐχθρῶν ἀμυντήριον,
**χαῖρε**, Παραδείσου θυρῶν ἀνοικτήριον.
**Χαῖρε**, ὅτι τά οὐράνια συναγάλλεται τῇ γῇ·
**χαῖρε**, ὅτι τά ἐπίγεια συγχορεύει οὐρανοῖς.
**Χαῖρε**, τῶν Ἀποστόλων τό ἀσίγητον στόμα·
**χαῖρε**, τῶν ἀθλοφόρων τό ἀνίκητον θάρσος.
**Χαῖρε**, στεῤῥόν τῆς πίστεως ἔρεισμα·
**χαῖρε**, λαμπρόν τῆς χάριτος γνώρισμα.
**Χαῖρε**, δι' ἧς ἐγυμνώθη ὁ Ἅδης·
**χαῖρε**, δι' ἧς ἐνεδύθημεν δόξαν.

**Χαῖρε, Νύμφη ἀνύμφευτε.**



Θεοδρόμον ἀστέρα θεωρήσαντες Μάγοι, ...

Θεοδρόμον ἀστέρα θεωρήσαντες Μάγοι, τῇ τούτου ἠκολούθησαν αἴγλῃ· καί ὡς λύχνον κρατοῦντες αὐτόν, δι' αὐτοῦ ἠρεύνων κραταιόν Ἄνακτα, καί φθάσαντες τόν ἄφθαστον, ἐχάρησαν Αὐτῷ βοῶντες·

**Ἀλληλούϊα.**



Ἴδον παῖδες Χαλδαίων, ἐν χερσί τῆς Παρθένου,

Ἴδον παῖδες Χαλδαίων, ἐν χερσί τῆς Παρθένου, τόν πλάσαντα χειρί τούς ἀνθρώπους· καί Δεσπότην νοοῦντες αὐτόν, εἰ καί δούλου ἔλαβε μορφήν, ἔσπευσαν τοῖς δώροις θεραπεῦσαι καί βοῆσαι τῇ Εὐλογημένῃ·

**Χαῖρε**, ἀστέρος ἀδύτου Μήτηρ,
**χαῖρε**, αὐγή μυστικῆς ἡμέρας.
**Χαῖρε**, τῆς ἀπάτης τήν κάμινον σβέσασα,
**χαῖρε**, τῆς Τριάδος τούς μύστας φωτίζουσα.
**Χαῖρε**, τύραννον ἀπάνθρωπον ἐκβαλοῦσα τῆς ἀρχῆς,
**χαῖρε**, Κύριον φιλάνθρωπον ἐπιδείξασα Χριστόν.
**Χαῖρε**, ἡ τῆς βαρβάρου λυτρουμένη θρησκείας,
**χαῖρε**, ἡ τοῦ βορβόρου ῥυομένη τῶν ἔργων.
**Χαῖρε**, πυρός προσκύνησιν παύσασα,
**χαῖρε**, φλογός παθῶν ἀπαλλάττουσα.
**Χαῖρε**, πιστῶν ὁδηγέ σωφροσύνης,
**χαῖρε**, πασῶν γενεῶν εὐφροσύνη.

**Χαῖρε, Νύμφη ἀνύμφευτε.**



Κήρυκες θεοφόροι γεγονότες οἱ Μάγοι,

Κήρυκες θεοφόροι γεγονότες οἱ Μάγοι, ὑπέστρεψαν εἰς τήν Βαβυλῶνα· ἐκτελέσαντές σου τόν χρησμόν, καί κηρύξαντές σε τόν Χριστόν ἅπασιν, ἀφέντες τόν Ἡρώδην ὡς ληρώδην, μή εἰδότα ψάλλειν·

**Ἀλληλούϊα.**



Ἴδον παῖδες Χαλδαίων, ἐν χερσί τῆς Παρθένου,

Ἴδον παῖδες Χαλδαίων, ἐν χερσί τῆς Παρθένου, τόν πλάσαντα χειρί τούς ἀνθρώπους· καί Δεσπότην νοοῦντες αὐτόν, εἰ καί δούλου ἔλαβε μορφήν, ἔσπευσαν τοῖς δώροις θεραπεῦσαι καί βοῆσαι τῇ Εὐλογημένῃ·

**Χαῖρε**, ἀστέρος ἀδύτου Μήτηρ,
**χαῖρε**, αὐγή μυστικῆς ἡμέρας.
**Χαῖρε**, τῆς ἀπάτης τήν κάμινον σβέσασα,
**χαῖρε**, τῆς Τριάδος τούς μύστας φωτίζουσα.
**Χαῖρε**, τύραννον ἀπάνθρωπον ἐκβαλοῦσα τῆς ἀρχῆς,
**χαῖρε**, Κύριον φιλάνθρωπον ἐπιδείξασα Χριστόν.
**Χαῖρε**, ἡ τῆς βαρβάρου λυτρουμένη θρησκείας,
**χαῖρε**, ἡ τοῦ βορβόρου ῥυομένη τῶν ἔργων.
**Χαῖρε**, πυρός προσκύνησιν παύσασα,
**χαῖρε**, φλογός παθῶν ἀπαλλάττουσα.
**Χαῖρε**, πιστῶν ὁδηγέ σωφροσύνης,
**χαῖρε**, πασῶν γενεῶν εὐφροσύνη.

**Χαῖρε, Νύμφη ἀνύμφευτε.**



Κήρυκες θεοφόροι γεγονότες οἱ Μάγοι,

Κήρυκες θεοφόροι γεγονότες οἱ Μάγοι, ὑπέστρεψαν εἰς τήν Βαβυλῶνα· ἐκτελέσαντές σου τόν χρησμόν, καί κηρύξαντές σε τόν Χριστόν ἅπασιν, ἀφέντες τόν Ἡρώδην ὡς ληρώδην, μή εἰδότα ψάλλειν·

**Ἀλληλούϊα.**

## CTACIC Γ



Νέαν ἔδειξε κτίσιν, ἐμφανίσας
ὁ Κτίστης, ...

Νέαν ἔδειξε κτίσιν, ἐμφανίσας ὁ Κτίστης, ἡμῖν τοῖς ὑπ' αὐτοῦ γενομένοις· ἐξ ἀσπόρου βλαστήσας γαστρός, καί φυλάξας ταύτην, ὥσπερ ἦν, ἄφθορον· ἵνα τό θαῦμα βλέποντες, ὑμνήσωμεν αὐτήν, βοῶντες·

**Χαῖρε**, τό ἄνθος τῆς ἀφθαρσίας·
**χαῖρε**, τό στέφος τῆς ἐγκρατείας.
**Χαῖρε**, ἀναστάσεως τύπον ἐκλάμπουσα·
**χαῖρε**, τῶν Ἀγγέλων τόν βίον ἐμφαίνουσα.
**Χαῖρε**, δένδρον ἀγλαόκαρπον, ἐξ οὗ τρέφονται πιστοί·
**χαῖρε**, ξύλον εὐσκιόφυλλον, ὑφ' οὗ σκέπονται πολλοί.
**Χαῖρε**, κυοφοροῦσα ὁδηγόν πλανωμένοις·
**χαῖρε**, ἀπογεννῶσα λυτρωτήν αἰχμαλώτοις.
**Χαῖρε**, Κριτοῦ δικαίου δυσώπησις·
**χαῖρε**, πολλῶν πταιόντων συγχώρησις.
**Χαῖρε**, στολή τῶν γυμνῶν παῤῥησίας·
**χαῖρε**, στοργή πάντα πόθον νικῶσα.

**Χαῖρε, Νύμφη ἀνύμφευτε.**



Ξένον τόκον ἰδόντες, ξενωθῶμεν
τοῦ κόσμου, ...

Ξένον τόκον ἰδόντες, ξενωθῶμεν τοῦ κόσμου, τόν νοῦν εἰς οὐρανόν μεταθέντες· διά τοῦτο γάρ ὁ ὑψηλός Θεός ἐπί γῆς ἐφάνη ταπεινός ἄνθρωπος, βουλόμενος ἑλκύσαι πρός τό ὕψος τούς Αὐτῷ βοῶντας·

**Ἀλληλούϊα.**



Ὅλος ἦν ἐν τοῖς κάτω, καί τῶν ἄνω οὐδόλως ...

Ὅλος ἦν ἐν τοῖς κάτω, καί τῶν ἄνω οὐδόλως ἀπήν, ὁ ἀπερίγραπτος Λόγος· συγκατάβασις γάρ θεϊκή, οὐ μετάβασις δέ τοπική γέγονε· καί τόκος ἐκ Παρθένου θεολήπτου ἀκουούσης ταῦτα·

**Χαῖρε**, Θεοῦ ἀχωρήτου χώρα·
**χαῖρε**, σεπτοῦ μυστηρίου θύρα.
**Χαῖρε**, τῶν ἀπίστων ἀμφίβολον ἄκουσμα·
**χαῖρε**, τῶν πιστῶν ἀναμφίβολον καύχημα.

**Χαῖρε**, ὄχημα πανάγιον τοῦ ἐπί τῶν Χερουβείμ·
**χαῖρε**, οἴκημα πανάριστον τοῦ ἐπί τῶν Σεραφείμ.
**Χαῖρε**, ἡ τἀναντία εἰς ταὐτό ἀγαγοῦσα·
**χαῖρε**, ἡ παρθενίαν καί λοχείαν ζευγνῦσα.

**Χαῖρε**, δι᾽ ἧς ἐλύθη παράβασις·
**χαῖρε**, δι᾽ ἧς ἠνοίχθη Παράδεισος.
**Χαῖρε**, ἡ κλείς τῆς Χριστοῦ βασιλείας·
**χαῖρε**, ἐλπίς ἀγαθῶν αἰωνίων.

**Χαῖρε, Νύμφη ἀνύμφευτε.**



Πᾶσα φύσις Ἀγγέλων κατεπλάγη...

Πᾶσα φύσις Ἀγγέλων κατεπλάγη τό μέγα τῆς σῆς ἐνανθρωπήσεως ἔργον· τόν ἀπρόσιτον γάρ ὡς Θεόν, ἐθεώρει πᾶσι προσιτόν ἄνθρωπον ἡμῖν μέν συνδιάγοντα, ἀκούοντα δέ παρά πάντων οὕτως·

**Ἀλληλούϊα.**



Ῥήτορας πολυφθόγγους ὡς ἰχθύας ἀφώνους, ...

Ῥήτορας πολυφθόγγους ὡς ἰχθύας ἀφώνους, ὁρῶμεν ἐπί σοί, Θεοτόκε· ἀποροῦσι γάρ λέγειν τό πῶς καί Παρθένος μένεις καί τεκεῖν ἴσχυσας· ἡμεῖς δέ τό Μυστήριον θαυμάζοντες, πιστῶς βοῶμεν·

**Χαῖρε**, σοφίας Θεοῦ δοχεῖον·
**χαῖρε**, προνοίας αὐτοῦ ταμεῖον.
**Χαῖρε**, φιλοσόφους ἀσόφους δεικνύουσα·
**χαῖρε**, τεχνολόγους ἀλόγους ἐλέγχουσα.
**Χαῖρε**, ὅτι ἐμωράνθησαν οἱ δεινοί συζητηταί·
**χαῖρε**, ὅτι ἐμαράνθησαν οἱ τῶν μύθων ποιηταί.
**Χαῖρε**, τῶν Ἀθηναίων τάς πλοκάς διασπῶσα·
**χαῖρε**, τῶν ἁλιέων τάς σαγήνας πληροῦσα.
**Χαῖρε**, βυθοῦ ἀγνοίας ἐξέλκουσα·
**χαῖρε**, πολλούς ἐν γνώσει φωτίζουσα.
**Χαῖρε**, ὁλκάς τῶν θελόντων σωθῆναι·
**χαῖρε**, λιμήν τῶν τοῦ βίου πλωτήρων.

**Χαῖρε, Νύμφη ἀνύμφευτε.**



Σῶσαι θέλων τόν κόσμον ὁ τῶν ὅλων κοσμήτωρ,

Σῶσαι θέλων τόν κόσμον ὁ τῶν ὅλων κοσμήτωρ, πρός τοῦτον αὐτεπάγγελτος ἦλθε· καί ποιμήν ὑπάρχων ὡς Θεός, δι' ἡμᾶς ἐφάνη καθ' ἡμᾶς ἄνθρωπος· ὁμοίῳ γάρ τό ὅμοιον καλέσας, ὡς Θεός ἀκούει·

**Ἀλληλούϊα.**

## ϹΤΑϹΙϹ Δ΄

Τεῖχος εἶ τῶν Παρθένων, Θεοτόκε Παρθένε, καί πάντων τῶν εἰς σέ προστρεχόντων· ὁ γάρ τοῦ οὐρανοῦ καί τῆς γῆς, κατεσκεύασέ σε Ποιητής Ἄχραντε, οἰκήσας ἐν τῇ μήτρᾳ σου, καί πάντας σοι προσφωνεῖν διδάξας·


Τεῖχος εἶ τῶν Παρθένων, Θεοτόκε Παρθένε, ...

**Χαῖρε**, ἡ στήλη τῆς παρθενίας·
**χαῖρε**, ἡ πύλη τῆς σωτηρίας.
**Χαῖρε**, ἀρχηγέ νοητῆς ἀναπλάσεως·
**χαῖρε**, χορηγέ θεϊκῆς ἀγαθότητος.
**Χαῖρε**, σύ γάρ ἀνεγέννησας τούς συλληφθέντας αἰσχρῶς·
**χαῖρε**, σύ γάρ ἐνουθέτησας τούς συληθέντας τόν νοῦν.
**Χαῖρε**, ἡ τόν φθορέα τῶν φρενῶν καταργοῦσα·
**χαῖρε**, ἡ τόν σπορέα τῆς ἁγνείας τεκοῦσα.
**Χαῖρε**, παστάς ἀσπόρου νυμφεύσεως·
**χαῖρε**, πιστούς Κυρίῳ ἁρμόζουσα.
**Χαῖρε**, καλή κουροτρόφε παρθένων·
**χαῖρε**, ψυχῶν νυμφοστόλε ἁγίων.

**Χαῖρε, Νύμφη ἀνύμφευτε.**


Ὕμνος ἅπας, ἡττᾶται, συνεκτείνεσθαι σπεύδων,

Ὕμνος ἅπας, ἡττᾶται, συνεκτείνεσθαι σπεύδων, τῷ πλήθει τῶν πολλῶν οἰκτιρμῶν σου· ἰσαρίθμους γάρ τῇ ψάμμῳ ᾠδάς, ἄν προσφέρωμέν σοι, Βασιλεῦ Ἅγιε, οὐδέν τελοῦμεν ἄξιον, ὧν δέδωκας ἡμῖν, τοῖς σοί βοῶσιν·

**Ἀλληλούϊα.**



Φωτοδόχον λαμπάδα, τοῖς ἐν σκότει φανεῖσαν, ...

Φωτοδόχον λαμπάδα, τοῖς ἐν σκότει φανεῖσαν, ὁρῶμεν τήν ἁγίαν Παρθένον· τό γάρ ἄϋλον ἅπτουσα φῶς, ὁδηγεῖ πρός γνῶσιν θεϊκήν ἅπαντας, αὐγή τόν νοῦν φωτίζουσα, κραυγῇ δέ τιμωμένη ταῦτα·

**Χαῖρε**, ἀκτίς νοητοῦ Ἡλίου·
**χαῖρε**, βολίς τοῦ ἀδύτου φέγγους.
**Χαῖρε**, ἀστραπή τάς ψυχάς καταλάμπουσα·
**χαῖρε**, ὡς βροντή τούς ἐχθρούς καταπλήττουσα.
**Χαῖρε**, ὅτι τόν πολύφωτον ἀνατέλλεις φωτισμόν·
**χαῖρε**, ὅτι τόν πολύρρητον ἀναβλύζεις ποταμόν.
**Χαῖρε**, τῆς κολυμβήθρας ζωγραφοῦσα τόν τύπον·
**χαῖρε**, τῆς ἁμαρτίας ἀναιροῦσα τόν ῥύπον.
**Χαῖρε**, λουτήρ ἐκπλύνων συνείδησιν·
**χαῖρε**, κρατήρ κιρνῶν ἀγαλλίασιν.
**Χαῖρε**, ὀσμή τῆς Χριστοῦ εὐωδίας·
**χαῖρε**, ζωή μυστικῆς εὐωχίας.

**Χαῖρε, Νύμφη ἀνύμφευτε.**



Χάριν δοῦναι θελήσας, ὀφλημάτων ἀρχαίων, ...

Χάριν δοῦναι θελήσας, ὀφλημάτων ἀρχαίων, ὁ πάντων χρεωλύτης ἀνθρώπων, ἐπεδήμησε δι' ἑαυτοῦ, πρός τούς ἀποδήμους τῆς αὐτοῦ χάριτος· καί σχίσας τό χειρόγραφον, ἀκούει παρά πάντων οὕτως·

**Ἀλληλούϊα.**



Ψάλλοντές σου τόν τόκον,...

Ψάλλοντές σου τόν τόκον, ἀνυμνοῦμέν σε πάντες, ὡς ἔμψυχον ναόν, Θεοτόκε· ἐν τῇ σῇ γάρ οἰκήσας γαστρί, ὁ συνέχων πάντα τῇ χειρί Κύριος, ἡγίασεν, ἐδόξασεν, ἐδίδαξε βοᾶν σοι πάντας·

**Χαῖρε**, σκηνή τοῦ Θεοῦ καί Λόγου·
**χαῖρε**, Ἁγία Ἁγίων μείζων.
**Χαῖρε**, κιβωτέ χρυσωθεῖσα τῷ Πνεύματι·
**χαῖρε**, θησαυρέ τῆς ζωῆς ἀδαπάνητε.
**Χαῖρε**, τίμιον διάδημα, βασιλέων εὐσεβῶν·
**χαῖρε**, καύχημα σεβάσμιον, ἱερέων εὐλαβῶν.
**Χαῖρε**, τῆς Ἐκκλησίας ὁ ἀσάλευτος πύργος·
**χαῖρε**, τῆς βασιλείας τό ἀπόρθητον τεῖχος.
**Χαῖρε**, δι᾽ ἧς ἐγείρονται τρόπαια·
**χαῖρε**, δι᾽ ἧς ἐχθροί καταπίπτουσι.
**Χαῖρε**, χρωτός τοῦ ἐμοῦ θεραπεία·
**χαῖρε**, ψυχῆς τῆς ἐμῆς σωτηρία.

**Χαῖρε, Νύμφη ἀνύμφευτε.**



Ὦ πανύμνητε Μῆτερ ...

Ὦ πανύμνητε Μῆτερ, ἡ τεκοῦσα τόν πάντων Ἁγίων ἁγιώτατον Λόγον· Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὦ πανύμνητε Μῆτερ, ἡ τεκοῦσα τόν πάντων Ἁγίων ἁγιώτατον Λόγον· Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὦ πανύμνητε Μῆτερ, ἡ τεκοῦσα τόν πάντων Ἁγίων ἁγιώτατον Λόγον· Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

δεξαμένη τήν νύν προσφοράν, ἀπό πάσης ῥῦσαι συμφοράς ἅπαντας, καί τῆς μελλούσης λύτρωσαι κολάσεως τούς σοί βοῶντας·

**Ἀλληλούϊα.**



Παναγία **Δακρυρροοῦσα**
Ἱερά Κοινοβιακή Σκήτη
Προφήτου Ἠλιοῦ **Ἁγ. Ὄρους.**

Αἱ 24 Εἰκόνες τῶν Οἴκων εὑρίσκονται εἰς Γυν. Ἱ. Μονή ΚΟΙΜΗΣΕΩΣ ΘΕΟΤΟΚΟΥ ΑΧΑΡΝΑΙ ΑΤΤΙΚΗΣ, τό δε πλαίσιο αὐτῶν προέρχεται ἀπό ἔκδοση Γεωργ. Μιχαλόπουλου.

Κοντάκιον. Ἦχος πλ δ΄

Τῇ ὑπερμάχῳ στρατηγῷ τά νικητήρια,
Ὡς λυτρωθεῖσα τῶν δεινῶν, εὐχαριστήρια,
Ἀναγράφω σοι ἡ Πόλις σου, Θεοτόκε.
Ἀλλ' ὡς ἔχουσα τό κράτος ἀπροσμάχητον,
Ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον ἵνα κράζω σοί·

**Χαῖρε, Νύμφη ἀνύμφευτε.**

Κοντάκιον. Ἦχος πλ δ΄

Τήν ὡραιότητα τῆς Παρθενίας σου, καί τό ὑπέρλαμπρον τό τῆς ἁγνείας σου, ὁ Γαβριήλ καταπλαγείς, ἐβόα σοι Θεοτόκε. Ποῖόν Σοι ἐγκώμιον, προσαγάγω ἐπάξιον; τί δέ ὀνομάσω σε; ἀπορῶ καί ἐξίσταμαι. Διό, ὡς προσετάγην, βοῶ σοι·

**Χαῖρε, ἡ Κεχαριτωμένη.**

Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός ἡμῶν, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.


MP
ΘY
IC XC

**«Θεοτόκε Παρθένε, Χαῖρε κεχαριτωμένη Μαρία· ὁ Κύριος μετὰ σοῦ· εὐλογημένη, σὺ ἐν γυναιξί, καὶ εὐλογημένος ὁ καρπός τῆς κοιλίας σου, ὅτι Σωτῆρα ἔτεκες τῶν ψυχῶν ἡμῶν».**

## ΤΟ ΠΡΟΣΩΠΟΝ ΤΗΣ ΘΕΟΤΟΚΟΥ,
## εἶναι πολυΰμνητον ὑπ' Ἀγγέλων καί ἀνθρώπων.

Ἡ Θεοτόκος εἶναι ἡ ἐλπίς πάντων τῶν πιστῶν, τό τεῖχος πάσης τῆς οἰκουμένης, ἡ γέφυρα ἡ ἑνοῦσα τήν γῆν μετά τοῦ οὐρανοῦ. Αὐτήν ἄς χαιρετῶμεν ἡμέρας καί νυκτός, ἵνα τύχωμεν τῆς παρ' Αὐτῆς εὐνοίας καί τοῦ μεγάλου ἐλέους.

**Ὅστις χαιρετᾶ τήν Θεοτόκον** :

- ἐνοικίζει τήν χαράν ἐντός τῆς καρδίας του·
- ἐξασφαλίζει τήν ἀκαταίσχυντον πρεσβείαν Αὐτῆς πρός τόν Θεόν·
- ἐξοικειοῦται μετ' Αὐτῆς καί διαβαίνει πλέον ἀφόβως ἐν τῇ ὥρᾳ τῆς ἐξόδου του εἰς τήν κρίσιν τῆς ψυχῆς·
- ταυτίζεται μετά τῆς εὐλογημένης ἀγαθοπρεποῦς ζωῆς, τήν ὁποίαν δωρεῖται ὡς Μήτηρ φιλόστοργος ἡ Παναγία, πρός ὅλους τούς πιστούς Αὐτῆς ἱκέτας.

Ἤτοι καθίσταται σκεῦος τῆς Ἀγάπης της, οἶκος τῆς πίστεως, ὄργανον τῆς ἐλπίδος, δοχεῖον τῶν ἀρετῶν, ἀποστίλβον τήν λαμπρότητα τῶν ἐνεργειῶν τοῦ Ἁγίου Πνεύματος.

**Ἄς συνηθίσωμεν, νά χαιρετῶμεν πάντοτε τήν Παναγίαν Μαριάμ, διά τῶν παραδεδομένων** (εἰς ἡμᾶς) **χαιρετιστηρίων οἴκων, τῶν συντόμων χαιρετιστηρίων προσευχῶν καί χαρμοσύνων φράσεων.**

Ἵνα τῇ Αὐτῆς μεσιτείᾳ, τύχωμεν τῆς χαρᾶς τῆς αἰωνίου καί τῆς σωτηρίου ἀγαλλιάσεως, εἰς τήν πανήγυριν τῶν πρωτοτόκων, εὐφραινόμενοι μετά τῶν υἱῶν καί κληρονόμων τοῦ φωτός.

**Ἄς ἀγαπήσωμεν** λοιπόν ἀδελφοί, **νά λέγωμεν καθημερινῶς τούς χαιρετισμούς πρός τήν Θεοτόκον Μαρίαν, τήν Δέσποιναν πάσης τῆς κτίσεως καί θά ἀγαπηθῶμεν ὑπ' Αὐτῆς πλειόνως.**

Ἔγραφον διά τήν παροῦσαν ἔκδοσιν "ΟΙ ΧΑΙΡΕΤΙΣΜΟΙ ΤΗΣ ΘΕΟΤΟΚΟΥ" ἐν τῇ καθ' ἡμᾶς **Ἱερᾷ Μονῇ Θεοτόκου Κυπαρισσιωτίσσης** καί **Ἁγίου Ἱεροθέου Μεγάρων Ἀττικῆς**, τῇ 26η Δεκεμβρίου 2007, ἑορτή τῆς Συνάξεως τῆς Ὑπεραγίας Θεοτόκου.

**† Ἰσιδώρα Μοναχή, Καθηγουμένη.**

---

Παραπλεύρως: Ἱερά εἰκών «**Ῥόδον τό ἀμάραντον**» μεταφερθεῖσα ἐκ τῆς Μικρᾶς Ἀσίας ἐν τῇ Ἱερᾷ Μονῇ Κοιμήσεως Θεοτόκου Κυπαρισσιωτίσσης καί Ἁγίου Ἱεροθέου Μεγάρων, ὑπό τῶν ἐπανιδρυτριῶν αὐτῆς (ἐν ἔτει 1930).

**Ἀπολυτίκιον.** Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

«Βασιλέα τῆς Δόξης, ἐν γαστρί σου συνέλαβες, πάντων Ἄνασσα Κόρη, καὶ ἀγκάλαις ἐβάστασας· καὶ γέγονας Παρθένε Μαριὰμ, καθέδρα ἡ περίδοξος αὐτοῦ, καὶ παλάτιον τοῦ Λόγου λαμπροφανὲς, καὶ πύλη ἡ χρυσήλατος. Χαίροις ἀνύμφευτε Ἁγνή, χαίροις φωτὸς λοχεύτρια, χαίροις χορῶν Ἀγγελικῶν, ἀμέτρως ὑπερέχουσα».




Παναγία, ἡ **Φοβερά Προστασία.**

Θαυματουργός καί ἐφέστιος εἰκόνα τῆς Ἱ. Μονῆς **Κουτλουμουσίου**, Ἁγ. Ὄρους.

Διατίθενται ἀπό Ἱ. Μονές καί ἀπό ἐνοριακούς Ἱ. Ναούς.

Διεύθυνσις ἐκδότου (α.μ.γ.):
**ΑΓΙΟΝ ΟΡΟΣ:** ΤΑΧ. ΘΥΡ. 50, Τ.Κ. 630 86, ΤΗΛ. 23 77 0 2 3 1 7 9
Διεύθυνσις ἀποστολῶν:
**ΘΕΣ/ΝΙΚΗ**:ΤΑΧ. ΘΥΡ. 105 05 Τ.Κ. 541 10, ΤΗΛ. 69 46 27 11 44